eul_wid: guy-aa

*Ἀρτέμων ὁ Κλαζομένιος* · Artemon of Clazomenae

# Chronicles and Homeric Studies

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

### ΩΡΟΙ ΚΛΑΖΟΜΕΝΙΩΝ.

1 Aelianus N. A. XII, 28: Ἀκούω δὲ ἐν Κλαζομεναῖς σῦν γενέσθαι πτηνὸν, ἥπερ οὖν ἐλυμαίνετο τὴν χώραν τοῖς Κλαζομενίοις· καὶ λέγει τοῦτο Ἀρτέμων ἐν τοῖς Ὥροις τοῖς Κλαζομενίων, ἔνθεν τοι καὶ χῶρος ἐκεῖ κέκληται ὑὸς πτερωτῆς ὀνομαζόμενός τε καὶ ᾀδόμενος.

### ΠΕΡΙ ΟΜΗΡΟΥ.

2 Suidas: Ἀρκτῖνος Τήλεω, τοῦ Ναύτεω ἀπογόνου, Μιλήσιος, ἐποποιὸς, μαθητὴς Ὁμήρου, ὡς λέγει ὁ Κλαζομένιος Ἀρτέμων ἐν τῷ Περὶ Ὁμήρου, γεγονὼς κατὰ τὴν θʹ ὀλυμπιάδα μετὰ υʹ ἔτη τῶν Τρωικῶν.